Deliciae Erudit. 1744. Ἑτέρα ἐπιστολὴ τοῦ Ναθαναὴλ πρὸς Γεώργιον τὸν Καλύβαν σώζεται ἐν τῷ ὑπ' ἀριθ 289 θεολογικῷ χειρογράφῳ τῆς ἐν Βιέννῃ βιβλιοθήκης. Ἐν ἔτει 1569 ἐν Βενετίᾳ διατρίβων διώρθωσε τὸ Μηναῖον τοῦ Μαΐου, κατὰ τὸ ἔτος τοῦτο ἐκδοθέν.

σελ. 233. Ἀνδρέας Σπείρας ἔγραψεν ἐκ Κρήτης δύο ἐπιστολὰς τῷ 1573 καὶ 1574 πρὸς Γαβριὴλ τὸν Σεβῆρον, καὶ μίαν ἐκ Παταβίου πρὸς τὸν αὐτόν, μητροπολίτην ὄντα Φιλαδελφείας. Ἐξεδόθησαν ὑπὸ Λαμίου ἔνθα ἀνωτέρω.

σελ. 233. Θεόδωρος Ῥέντιος, Χῖος, τοῦ δυτικοῦ δόγματος ὀπαδός. ἐν ἔτει 1591 οὐκ ἦν ἐν τοῖς ζῶσιν. Ὁ Μαργούνιος γράφων πρὸς τὸν Φίλιππον Σεμινέλον τῷ 1591 ἔτει λέγει καὶ τάδε. „Ἔστι δὲ τὸ δῶρον μικρὸν μέν, εἰ τοῖς ὁμοίοις παραβάλλοις, οὐ μικρὸν δέ, εἰ τὰς παρασημειώσεις ἐπιθεωρεῖν ἕλοιο. καὶ οὐδ' ἄκαρπός σοι ἡ θεωρία, μόνον εἰ ἐπιβάλλοις ἐπιμελέστερον τῷ σπουδάσματι. Ἀνδρῶν γὰρ τῶν πάνυ γενναίαν ἐπιδειξαμένων περὶ τὰ γραμματικὰ σπουδὴν τὸ ἐκπόνημα. Θεόδωρος οὗτος ὁ τῆς μακαρίας μνήμης ὁ Ῥέντιος, οὐδενὸς δεύτερος τῶν τὰ πρῶτα φερόντων ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἔν γε ταῖς προπαιδείαις, μᾶλλον δὲ καὶ τῶν πρωτείων τοῖς πᾶσιν ἀμφισβητῶν“. Τοῦ Θεοδώρου Ῥεντίου ἐπιστολαὶ δέκα σώζονται ἐν τῇ τοῦ ἁγίου Μάρκου Βιβλιοθήκῃ ὑπ' ἀριθμὸν 115. Μία τούτων πρὸς Ματθαῖον τὸν Δεβαρῆ ἔχει ὧδε.

Θεόδωρος Ῥέντιος Ματθαίῳ τῷ σοφῷ.

Χρόνια μέν σοι τὰ παρ' ἡμῶν ἥκει γράμματα, φίλων ἄριστε Ματθαῖε, ἀλλὰ τοῦ φιλικοῦ καθήκοντος οὐδόλως ἀμεληκότες τυγχάνομεν· οὐδὲ γὰρ δὲ τῷ τάχει τοῦ διακομίζοντος φιλεῖν ἐμάθομεν, ἀλλὰ τῇ περὶ σοῦ ἡμῖν συγγηρασκούσῃ μνήμῃ διὰ παν-